TEZAUR LITURGIC

18 AUGUST

IOANNIS ZAMPELIS

# PARACLISUL SOBORULUI SF.LEVKADIEI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

# ΑΓΙΩΝ ΛΕΥΚΑΔΟΣ

**Ποίημα Ἰωάννου Γ. Ζαμπέλη**

Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τό· *Κύριε εἰσάκουσον.* Εἶτα, *Θεός Κύριος* ἐκ δ' καί ἀκολούθως:

Ἦχος δ' . Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

***Ἡ*** ἱερά τῶν Λευκαδίων κοινότης, μετ' εὐφροσύνης εἰς ᾠδήν συνελθοῦσα, ἁγιολέκτων σύλλογον τιμᾷ σεμνοπρεπῶς· τούτοις ἐγκαυχᾶται γάρ ὡς πρός θείοις ἐφόροις, ὡς ἀπολαμβάνουσα ἐκ δεινῶν προστασίαν· οἷς ἀφορῶσα σπεύδει εὐσεβῶς, προσορμισθῆναι πρός ὅρμον σωτήριον.

Δόξα. *Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.*

**Λ**ευκαδίων ὁ δῆμος ὁ χριστεπώνυμος, ᾠδαῖς καί ὕμνοις συντόνοις καί ἐγκωμίοις τερπνοῖς, προστατῶν αὐτοῦ γεραίρει τήν ὁμήγυριν· οἵ καί ὡς τεῖχος ἀῤῥαγές, ἀπό παντοίων προσβολῶν, ἄτρωτον ταύτην τήν νῆσον, διατηροῦσιν· ἀπαύστως, τῷ Πανοικτίρμονι πρεσβεύοντες.

Καί νῦν. Θεοτοκίον. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

*Οὐ* σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου…

Ὁ Ν' ψαλμός.

## Ο ΚΑΝΩΝ

Οὗ ἡ ἀκροστοιχίς· *"Ἁγίοις αἴνεσιν Λευκάς ἀντιδωρεῖται. Ἰ(ωάννου)".*

*Ἦχος πλ. δ'. Ὠδή α'. Ὑγράν διοδεύσας.*

***Ἀ***νοίγων τό στόμα ἀδυνατεῖ, ἐπάξιον λόγον βροτός ἅπας ἐξενεγκεῖν, Ἁγίους βουλόμενος ὑμνῆσαι, μή ἐκζητήσας τήν τούτων ἐνίσχυσιν.

***Γ***ηθόμενος σύμπας ὁ εὐσεβής, Λευκαδίων δῆμος, τούς προστάτας αὐτοῦ πιστῶς, συνήχθη σύν πόθῳ ἀνυμνῆσαι· ὅθεν τήν τούτων αἰτεῖται ἐπίῤῥωσιν.

***Ἱ***λάσθητι Σῶτερ ἀναβοᾷ, ἡ Ἁγία Μαύρα, συγκαλοῦσα ἀδελφικῶς, Ἑπτάνησον πᾶσαν Ἤπειρόν τε, καί Στερεάν εἰς ᾠδήν ἱκετήριον.

*Θεοτοκίον*

*Οὐ*δόλως ἡττᾶται ὁ εὐσεβής, τήν σήν συμμαχίαν κεκτημένος νικοποιόν· διό καί Λευκάς ἐν σοί θαῤῥοῦσα, Φανερωμένη οὐδέπω ἀπήλπισται.

*ᾨδή γ'. Οὐρανίας ἁψῖδος.*

***Ἱ***λασμός σωτηρίας, ἡ τοῦ Χριστοῦ δέδεικται, Μήτηρ καί τῆς νήσου Λευκάδος τεῖχος ἀπόρθητον, ἀπό πασῶν προσβολῶν, παντοειδῶν πολεμίων· ὅθεν οἱ Λευκάδιοι, ταύτην γεραίρουσιν.

***Σ***αγηνεύει ἰχθύας, χάρις Θεοῦ ἔμφρονας· Παῦλος ἁλιεύς γάρ ἐδείχθη, ὅτε ἐφήπλωσεν, ἐπί τῆς νήσου ἡμῶν, σωτηριώδη σαγήνην, μαθητάς κηρύξοντας, πέμψας θεόφρονας.

***Ἀ***ναγγέλλων Ἀκύλας, τήν τοῦ Θεοῦ ἔνδοξον, μέσον τῶν βροτῶν παρουσίαν σύν ζήλῳ ἔδραμε, πρός Λευκαδίων τήν γῆν, τόν θεῖον λόγον ἐνσπείρων, ἀσεβῆ ζιζάνια, ἐκβάλλων πάραυτα.

*Θεοτοκίον*

***Ἱ***εράν ὑμνωδίαν, χρεωστικήν πρόσδεξαι, πρό τῆς σῆς εἰκόνος Παρθένε, ἥν σοί Λευκάδιοι, ἀντιδωροῦνται πιστῶς, πρός εὐεργέτην τάς δόσεις, Μῆτερ ἀποδίδοντες τῇ ἐξυμνήσει σου.

Κάθισμα. *Ἦχος β'. Τά ἄνω ζητῶν.*

***Κ***αρδίαις θερμαῖς τῇ πίστει προσδεόμενοι, Λευκάδιοι ἀεί προσδέχονται ἐκλύτρωσιν, ἀλγηδόνων Ἅγιοι καί δεινῆς περιστάσεως πάντοτε· οὕς ἐκ βυθοῦ μή παύσητέ ποτε, ἀνάγειν εἰς τόπους ἀναψύξεως.

*ᾨδή δ'. Εἰσακήκοα Κύριε.*

**Ν**αῦς τό φῶς μετενήνοχεν, τῇ ἐσκοτισμένῃ Λευκάδι ἔχουσα, ἐπ' αὐτῆς ποτ' ἐπιβαίνοντα, τόν εἰδωλομάχον Ἡρωδίωνα.

**Ἐ**πισκόπῳ Σωσίωνι, υἱκόν ἐγκώμιον ἀπονείμωμεν, τῆς Λευκάδος οἱ οἰκήτορες, τῷ θεοφιλῶς ἡμᾶς ποιμάναντι.

**Σ**υμβουλεύει εὐσέβειαν, τούς κατά Λευκάδα πιστούς Ἀγάθαρχος, κἀν Συνόδῳ διεκήρυξεν, Ποιητήν οὐ κτῖσμα, τόν Θεάνθρωπον.

*Θεοτοκίον*

**Ἰ**ατρός Κόρη πέλουσα, τῶν καταφευγόντων σοι μετά πίστεως, ταχινῶς ἀντιλαβοῦ ἡμῶν, ταῖς ψυχαῖς νοσούντων καί τοῖς σώμασιν.

*ᾨδή ε'. Φώτισον ἡμᾶς.*

**Ν**ᾶμα ζωηρόν, ἐκ τοῦ τάφου ἀνεπήγασεν, ἰατρείας τοῖς πιστοῖς παντοδαπάς, τῶν Πατέρων παρεχόμενον τῇ χάριτι.

**Λ**άμπει παμφεγγῶς, τῶν Πατέρων ἡ πεντάριθμος, καί πανάρετος λυχνία σκοτισμόν, τῶν παθῶν εἰς τά στοιχεῖα διαλύουσα.

**Ἔ**λαμψεν ἡμῖν, τῶν δογμάτων ἡ ἀλήθεια, τῶν Συνόδων τοῖς σαφέσιν ὁρισμοῖς, ὧν μετέσχον Ζαχαρίας καί Πελάγιος.

*Θεοτοκίον*

**Ὕ**ψος νοητόν, ἀνελθεῖν οὐκ ἐξικνούμεθα, τῆς ἁγνείας σου καί δώρων ἐκ Θεοῦ, Μαριάμ Φανερωμένη, οἷς κεκόσμησαι.

*Ὠδή στ'. Τήν δέησιν ἐκχεῶ πρός Κύριον.*

**Κ**ρυφίως τῶν Ἑνετῶν οἱ ἄρχοντες, κατασκόποις τόν Κοσμᾶν ἀκολουθοῦσι, ὥστε πιστοῖς, βουληθέντα κηρῦξαι, ἐν τῇ Λευκάδι ἀπείργειν δυνήσεσθαι· ἀλλά ἡ Χάρις τοῦ Θεοῦ, μετ' αὐτοῦ ὁμιλῆσαι ἡμᾶς ἠξίωσεν.

**Ἁ**ρπάγων τῇ νήσῳ ταύτῃ ἐλθόντων, πόθεν ἤλπισας Λευκάς συμβεῖν σοι τοῦτο; ἐπί σοί γάρ, ὥσπερ λάφυρον ἤχθη, τό μυροβλῦζον καί πάντιμον λείψανον, τοῦ ἐν πλωτῆρσιν ἀῤῥωγοῦ, ἱεροῦ Νικολάου τοῦ μάκαρος.

**Σ**ωρεία τοῖς θαυμασίοις σου μάκαρ, τῆς τοῦ δράκοντος ἐνέδρας διεσώθη· ὅθεν ἡμᾶς, ἱεράρχα Δονάτε, τούς ἀσπασθέντας τό θεῖον σου λείψανον, τοῦ πολεμίου σαῖς εὐχαῖς, τῶν παγίδων συντόμως ἐκλύτρωσαι.

*Θεοτοκίον*

Ἀῤῥώστοις τήν εὐρωστίαν προσδίδει, τῶν παθῶν ἀποσβεννύει τάς φλογώσεις καί σεισμικάς, ἐκμειοῖ ἀπωλείας, πρός τούς πιστούς οὗς εὐήκοον τείνουσα, ἡ τῶν Ἀγγέλων χαρμονή καί βροτῶν τό ἀκλόνητον ἔρεισμα.

Κοντάκιον. *Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς εὐφορίαν καί πλατυσμόν ἐν ταῖς θλίψεσιν, ἀναψυχήν τε καί δρόσον ἐν καύσωνι, ὑμᾶς οἱ Λευκάδιοι ἔγνωσαν· ὅθεν πιστῶς ἐκβοῶσιν ἑκάστοτε· ὑπέρ ἡμῶν πρεσβεύσατε Ἅγιοι.

Οἱ Ἀναβαθμοί τοῦ δ' Ἤχου. Προκείμενον· θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Στίχος· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον τῆς 26ης Ὀκτωβρίου (Ἰω. ιε'17 - ιστ'2).

Δόξα. Ταῖς τῶν θεοφόρων...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχος· ἐλέησόν με ὁ Θεός...

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

***Ὅ***λην ἀποθέμενοι, πρός οὐρανούς τήν ἐλπίδα, ὅ ἐπόθουν ἔλαβον ταῖς ἡμῶν πρεσβείαις πάντες Λευκάδιοι. Νόσων ἀπηλλάγησαν, σεισμικοῦ κινδύνου, ἀνομβρίας τε ἐρύσθησαν καί οὐκ ἐνόθευσαν, πίστιν τήν ὀρθήν καί σωτήριον. Διό καί νῦν εὐγνώμονες, σπεύδουσιν ὑμᾶς ἐπαινέσασθαι, καί θερμῶς αἰτοῦνται, Χριστῷ ὑμᾶς πρεσβεύειν ἐκτενῶς, ὅπως δωρῆται ὡς εὔσπλαγχνος, θεῖον αὐτοῦ ἔλεος.

*Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

***Ν***ηστευτής ἐγκρατεύων, ἀγρυπνῶν τῷ Δεσπότῃ σου εὐηρέστησας· τό λείψανόν σου ὅθεν, τρανῶς ἐχαριτώθη, προσπηγᾶζον ἰάματα, τοῖς προσιοῦσιν αὐτῷ, Λουκᾶ ὅσιε πάτερ.

***Τ***ριανδρία θεόφρων, ἐν σταδίῳ τήν πλάνην ὡς καταπτύσασα, μαρτυρικοῖς στεφάνοις, κοσμεῖται αἰωνίως, δωρημάτων πηγάζουσα, τρίκρουνος ὥσπερ πηγή, τοῖς εὐσεβέσι νᾶμα.

***Ἰ***σοβίως Κυρίῳ, σεαυτόν Βησσαρίων πάτερ ἀνέθηκας· διό καί παῤῥησίαν, αὐτοῦ ἔμπροσθεν ἔσχες καί ἐκβλύζει τό ἴαμα, κατά πανώλους δεινῆς, ἡ ἱερά σου κάρα.

*Θεοτοκίον*

***Δ***ρακοντείου κρανίου, συντριβή τῷ τόκῳ σου Μῆτερ γέγονας· Βελίαρ ἀβλαβῆ δέ, τηρεῖς καί τήν Λευκάδα, τήν πιστῶς σοι κραυγάζουσαν· Χαῖρε ἡ σκέπη ἡμῶν, ἁγνή Φανερωμένη.

*Ὠδή η'. Τόν βασιλέα.*

***Ὡ***ς ἐλυτρώσω, τῆς τοῦ σεισμοῦ ἀπειλῆς με, Διονύσιε Λευκάς ἀναβοᾷ σοι, ἐκ παντός κινδύνου ἀπήμονα συντήρει.

***Ῥ***ῦσαι Βαρβάρα, τήν ὑμνῳδούσαν σοι πόλιν, ἐκ παντοίας περιστάσεως ὡς πάλαι, τῇ σῇ ἐπεμβάσει τῆς εὐλογιᾶς ἐρύσω.

***Ἐ***πιποθοῦσα, ἡ μεγαλώνυμος Μαύρα, τῆς Χριστοῦ τυχεῖν ἀφθάρτου Βασιλείας, ἐν σταυρῷ ὑψοῦται, τῷ ὁμοζύγῳ ἅμα.

*Θεοτοκίον*

***Ἵ***λαθι Κόρη, τοῖς ταπεινοῖς σου ἱκέταις, εὐκατάνυκτον ᾠδήν σοι προσιοῦσιν, τήν ἐμφάνειάν σου, ἐν λύπαις τ' αἰτουμένοις.

*Ὠδή θ'. Κυρίως Θεοτόκον.*

***Τ***ῇ θείᾳ σου εἰκόνι, ἡ κώμη σου καυχᾶται, ἱεροφάντα Νικήτα πανόλβιε, ὡς θησαυρόν πολυτίμητον ταύτην φέρουσα.

***Ἀ***θέους καταισχύνει, ἡ ἄθλησίς σου μάρτυς, Κυριακή καί πιστούς προσκαλεῖται νῦν, εἰς εὐλογίαν Κυρίου, τοῦ σέ δοξάσαντος.

***Ἰ***όνων αἱ χορεῖαι, τοῖς Λευκαδίοις αὖθις, συνενωθεῖσαι ὑμνοῦσι Θεόδωρον, ἐλευθερίας γενόμενον τούτοις πρόξενον.

*Θεοτοκίον*

***Ἰ***σόβια τά γέρα, προσφέρει ὁ λαός σου, ὡς ἰσοβίως γινώσκων προστάτιν σε, Φανερωμένη Λευκάδος ἄμαχε πρόμαχε.

Ἄξιον ἐστίν ὡς ἀληθῶς...*Μεγαλυνάρια*

***Σ***τέφος ἁγιόπλοκον ἡ Λευκάς, ἐπί κάρας φέρει καί καυχᾶται σεμνοπρεπῶς· ὅθεν συνελθόντες, Λευκάδιοι τιμῶσιν, τήν μνήμην τῶν ἁγίων πανηγυρίζοντες.

***Π***ρέσβεις κεκτημένη ἐν οὐρανοῖς, μάρτυρας, πατέρας, ἀποστόλους καί ἀσκητάς, τήν τε Θεοτόκον, Λευκάς ἐγκαυχωμένη, αὐτῶν νῦν ἐγκωμίοις τιμᾷ τήν σύναξιν.

***Ν***όσοι ἀπελαύνονται καί σεισμοῦ, παύονται δονήσεις, ἀλλοφύλων ἐπιδρομαί, βλήματα ἐχθροῦ τε, οὐ ψαύονται Λευκάδος· προστάται γάρ ὑψόθεν ταύτην φυλάττουσιν.

***Δ***εῦτε τῆς Λευκάδος οἱ οἰκισταί, ὕμνους καί ἐπαίνους, μελῳδήσωμεν ἐν χαρᾷ, καί εὐγνωμοσύνῃ, εὑρίσκοντες προστάτας, Ἁγίους τρισμεγίστους ἐν δείναις πάντοτε.

***Χ***αίρει εὐφροσύνως Ἀμαξική, σύν τῇ νήσῳ πάσῃ, λυτρωθεῖσα φθοροποιῶν, νόσων καί ἀνάγκης, καί ἀπειλῆς παντοίας, ἁγίων δεχομένη ἄμυναν ἄνωθεν.

*Πρός δε τούτοις, λέγε καί ὅσα βούλῃ ἐκ τῶν κάτωθι·*

***Κ***άλλος ὑπέρ ἔννοιαν γηγενῶν, **Πεφανερωμένη**, ἡ εἰκών σου φεγγοβολεῖ· ὅθεν Λευκαδίων, οἱ ἐν φθορᾶς σκοτίᾳ, πεσόντες μετ' ἐλπίδος σοί καταφεύγουσιν.

***Μαύρα*** ἀμαυρώσασα τοῦ ἐχθροῦ, φάλαγγας δυσώδεις, πρός εὐώδη καλεῖτει νῦν, τούς τήν νῆσον ταύτην οἰκοῦντας φιλαγίους, τούς πόθῳ τῇ εἰκόνι αὐτῆς προστρέχοντας.

***Παῦλος*** ὁ διδάσκαλος τῶν ἐθνῶν, ἐπί Λευκαδίαν πεπλησμένην ἐξ ἐθνικῶν, πέμπει ξυνωρίδα, ἐνθέων ἀποστόλων, Θεοῦ εὐαγγελίσασθαι τό σωτήριον.

***Κ***όρινθος ἀγάλλεται ἐπί σοί, συγγηθοῦσα Πόντῳ , γενετείρᾳ σου ἱερᾷ, καί Λευκάς συγχαίρει, **Ἀκύλα** ἀσπασθεῖσα, τήν θείαν διδαχήν σου καί μεγαλύνει σέ.

***Ε***ἴδωλον ἐθραύσθη περιφανῶς, **Ἡρωδίων** μάκαρ τῇ ἐνθέρμῳ σου προσευχῇ· ὅθεν Λευκαδίων, τά πλήθη ἐπιγνόντα, τόν ἐνισχύσαντά σε, τούτῳ ἐλάτρευσαν.

***Π***ρῶτον ἀρχιποίμενα τῶν πιστῶν, μάκαρ Λευκαδίων, ὁ Παράκλητος ἐμφανῶς, ἔδειξε **Σωσίων**· δι' ὅπερ μή ἐλλίπῃς, Κυρίῳ παρεδρεύειν, ὑπέρ τῆς ποίμνης σου.

***Τ***ῶν Ἀρχιερέων τήν καλλονήν καί τῶν Λευκαδίων ποιμενάρχην καί ἀῤῥωγόν· τῶν αἱρετιζόντων στηλιτευτήν τόν μέγαν, **Ἀγάθαρχον** συμφώνως, νῦν ἐπαινέσωμεν.

***Δ***όγματα Ἀρείου τά δυσεβῆ, πατάξαντες πάλαι, μεγαλόφθογγοι τοῦ Θεοῦ, ῥήτορες **Πατέρες**, ἐδείχθητε· δι' ὅπερ, σύν Ὀρθοδόξοις πᾶσι Λευκάς τιμᾷ ὑμᾶς.

***Ἄ***νθρωπον παντέλειον καί Θεόν, ἕνα τῆς Τριάδος, ὡμολόγησαν τόν Χριστόν, μέσον τῶν Συνόδων, ἡμῶν οἱ ποιμενάρχαι, ὁ θεῖος **Ζαχαρίας** καί ὁ **Πελάγιος**.

***Χ***αίρει Αἰτωλία ἡ σή πατρίς, Ἤπειρός τε αἷμα, δεξαμένη σου τό σεπτόν, καί Λευκάς συγχαίρει, ἐφ' ἧς οἱ ἱεροί σου, **Κοσμᾶ** ὁσιομάρτυς, πόδες ἐβάδισαν.

***Π***ελαγοδρομοῦντες διηνεκῶς, **Νικόλαε** πάτερ, καί ποντούμενοι πειρασμοῖς, τῷ σεπτῷ σου σκήνει, προσπίπτομεν αἰτοῦντες, ὅπως ἡμῖν συμπλεύσῃς καί ῥύσῃς ἅπαντας.

***Δ***ώρησαι **Δονάτε** θαυματουργέ, τοῖς ὑμνολογοῦσι, τήν ἁγίαν σου βιοτήν, ἀρετήν εἰρήνην, μετάνοιαν ὑγείαν, καί πρός γαλήνης ὅρμον τούτους κατεύθυνον.

***Δ***έδεκται ἱδρῶτα ἀσκητικόν, τοῦ **Λουκᾶ** καί σκῆνος, ὡς πολύτιμον δωρεάν, φέρει Βοιωτία, ὅπερ καί Λευκαδῖται, τῆς νήσου διερχόμενον κατησπάσθησαν.

***Β***ικέντιος Βίκτωρ καί ὁ Μηνᾶς, ἄνωθεν ῥωσθέντες, κατενίκησαν τόν ἐχθρόν, καί χαριτωθέντες, Ἁγίας Μαύρας πόλιν, σεισμοῦ τῆς ἐπηρείας, ἄφθορον ἔδειξαν.

***Ῥ***ῦσαι τούς προστρέχοντας εὐλαβῶς, τῇ σεπτῇ σου κάρᾳ, **Βησσαρίων** θαυματουργέ, ὥσπερ καί Λευκάδα, ἀπήλλαξας πανώλους, ὑγείαν τήν κατ' ἄμφω δούς δαψιλέστατα.

***Δ***εῦτε ἡσυχίας τόν ἐραστήν, ἀνεξικακίας καί συγγνώμης ὑπογραμμόν, ἐκ σεισμοῦ σωτῆρα, Λευκάδιοι πολῖται, Αἰγίνης **Διονύσιον**, ἀνυμνήσατε.

***Ἄ***φθαρτα προτίσασα γεηρῶν, χάριν ἀπειλήφεις, ἀπαλάττειν ἐκ τῆς φθορᾶς, νύμφη τοῦ Σωτῆρος, **Βαρβάρα** καλλιμάρτυς· διό καί Λευκαδίους, νόσου διέσωσας.

***Χ***αλκηδόνος πρόεδρον εὐλαβῶς, τόν καί νικηφόρον, ἐν ἀγῶνι πνευματικῷ, μέλψωμεν προθύμως, τήν ἱεράν εἰκόνα, **Νικήτα** ἱεράρχου οἱ ἀσπαζόμενοι.

***Ο***ὐδέν ἱκανώθη **Κυριακήν**, τῆς Χριστοῦ ἀγάπης, ἀποστήσασθαι μηδαμῶς· τό Χριστῷ συνεῖναι, πρό τῆς σεπτῆς εἰκόνος, τῆς μάρτυρος οὖν πάντες, αὐτῆς αἰτήσασθε.

***Τ***ῆς Ῥωσίας βλάστημα θαυμαστόν, καί τῶν Λευκαδίων ἀντιλήπτορα ἐν δεινοῖς, **Θεόδωρον** πάντες, ὑμνήσωμεν ἐκθύμως· ἰσάγγελον γάρ βίον, ἔσχεν ὁ πάντιμος.

***Τ***εῖχος ἀναδέδειξαι τῶν πιστῶν, κατ' ἐχθρῶν παντοίων, ἀοράτων καὶ ὁρατῶν, **Γεράσιμε** πάτερ· ὅθεν Ἀλῆν διώκεις, σῴους καὶ ἐλευθέρους ἀεὶ τηρῶν ἡμᾶς.

***Π***ᾶσαι τῶν Ἀγγέλων...

***Τ****ρισάγιον.* ***Δ****όξα.Καί νῦν.* ***Π****αναγία Τριάς.* ***Δ****όξα.Καί νῦν.* ***Π****άτερ ἡμῶν.* ***Ὅ****τι σοῦ ἐστίν.*

www.tezaurliturgic.ro

*Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.*

**Λ**ευκαδίων ὁ δῆμος ὁ χριστεπώνυμος, ᾠδαῖς καί ὕμνοις συντόνοις καί ἐγκωμίοις τερπνοῖς, προστατῶν αὐτοῦ γεραίρει τήν ὁμήγυριν· οἵ καί ὡς τεῖχος ἀῤῥαγές, ἀπό παντοίων προσβολῶν, ἄτρωτον ταύτην τήν νῆσον, διατηροῦσιν· ἀπαύστως, τῷ Πανοικτίρμονι πρεσβεύοντες.

*Ἐκτενής ὑπό τοῦ Ἱερέως καί Ἀπόλυσις, μεθ' ἥν τό ἑξῆς·*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

***Ὅ**τε* Λευκαδίων ἡ πληθύς, βέλεσιν ἐβάλλετο πάλαι, τοῦ πολεμήτορος, τότε οἱ φιλάγιοι πόθῳ ἐδέοντο, θεοφόρου συνάξεως, ὁσίων μαρτύρων, κλεινῶν ἀποστόλων τε, ἱεραρχῶν ἱερῶν, καί τῆς παναχράντου Μαρίας, ἥν Φανερωμένην καλοῦσιν· ὧν ταῖς ἐνεργείαις διεσώθησαν.

**Δ**έσποινα πρόσδεξαι…**Τ**ήν πᾶσαν ἐλπίδα μου…

